**Stadtbibliothek im Bildungscampus Nürnberg**

NÜRNBERG

## Bibliographische Daten

| | |
|---|---|
| Titel: | Georgius, Cedrenus: Historiarum compendium - Nürnberg, STN, Cent. V, App. 13 |
| Ersteller: | Cedrenus Georgius |
| Signatur: | Cent. V, App. 13 |

Die Nutzung der Digitalisate von gemeinfreien Werken aus den Sammlungen der Stadtbibliothek im Bildungscampus Nürnberg ist gemäß den Bedingungen der Creative-Commons-Lizenz Public Domain Mark 1.0 uneingeschränkt und kostenfrei erlaubt.

Im Sinne guter wissenschaftlicher Praxis wird gebeten, bei der Verwendung von durch die Stadtbibliothek im Bildungscampus überlassenen Digitalisaten stets die Quellenangabe in folgender Form zu verwenden: Stadtbibliothek im Bildungscampus Nürnberg, [Bestandssignatur + Blatt/Seite]

Im Interesse einer laufenden Dokumentation und der Information für Benutzerinnen und Benutzer erbittet die Stadtbibliothek die Überlassung von Belegexemplaren oder Sonderdrucken von Veröffentlichungen, die aus der Benutzung von Handschriften und anderen Medien in den historischen Sammlungen der Stadtbibliothek hervorgegangen sind. Sollte eine Abgabe nicht möglich sein, wird um Mitteilung der bibliographischen Daten der Publikation gebeten.

ἀλλ' ἔχουσιν αὐτοὺς ὡς παρὰ ἀποστόλου χριστοῦ. λέγουσι δὲ καὶ ἓξ ἐκκλη-
σίας ἐν τῇ ὁμολογίᾳ αὐτῶν. τὴν μακεδονίαν ἥτις ἐστὶ κάστρον κο-
λωνείας. τὴν κίβωσσαν ἣν ἐμαθήτευσε κωνσταντῖνος ὁ καὶ σιλουανὸς καὶ
συμεὼν ὁ καὶ τίτος. τὴν ἀχαΐαν ἥτις ἐστὶ κώμη σαμοσάτου τὰ
μανάναλιν ἣν ἐμαθήτευσε γενέσιος ὁ καὶ τιμόθεος. τὴν τῶν φιλιππησίων.
τοὺς μαθητὰς λέγοντες ἰωσὴφ τοῦ καὶ ἐπαφροδίτου καὶ ζαχαρίου τοῦ
μισθωτοῦ ποιμένος παρ' αὐτῶν λεγομένου. τὴν τῶν λαοδικέων.
λέγουσι δὲ τοὺς κυνοχωρίτας. τὴν μέντοι τῶν ἐφεσίων. τοὺς ἐν μόψου
ἑστίᾳ. καὶ τὴν τῶν κολασσαέων λέγουσιν ὡς σέργιος ὁ καὶ τύχικος, ὃν ἀναθε-
ματίσει. τούτους οὖν τοὺς ἑπτὰ διδασκάλους αὐτῶν καὶ τὰς ἓξ
ἐκκλησίας, ἔχουσιν ἐν τιμῇ ὡς καὶ σέβονται. πάντας δὲ τοὺς λοιποὺς,
οὓς ἐὰν εἴπῃ τις αὐτοῖς καὶ ἀναθεματίζουσι καὶ ἀποβάλλονται. ἔ-
χουσι δὲ πρὸς τὴν αἵρεσιν τὴν τῶν μανιχαίων. δύο ἀρχὰς ὁμολογοῦντες
ὡς κἀκεῖνοι. λέγουσι δὲ οὗτοι, ὅτι, ἓν ἐστὶ μόνον τὸ διαχωρίζον ἡμᾶς
ἐκ τῶν ῥωμαίων. ὅτι ἡμεῖς μὲν ἕτερον θεὸν λέγομεν ὑπάρχειν τὸν πατέρα
τὸν ἐπουράνιον ὃς ἐν τούτῳ τῷ κόσμῳ οὐκ ἔχει ἐξουσίαν. ἀλλ' ἐν τῷ
μέλλοντι. ἕτερον δὲ θεὸν τὸν κοσμοποιητὴν. ὅστις ἔχει τοῦ δὲ
παρόντος τὴν ἐξουσίαν. οἱ δὲ ῥωμαῖοι φασὶν ἕνα καὶ τὸν αὐτὸν
θεὸν ὁμολογοῦσιν εἶναι καὶ πατέρα τὸν αὐτὸν ἐπουράνιον. καὶ τοῦ κόσμου παν-
τὸς ποιητήν. καλοῦσι δὲ ἑαυτοὺς μὲν χριστιανοὺς. ἡμᾶς δὲ, ῥω-
μαίους. λέγουσι δὲ πρὸς τοὺς ἀγνοοῦντας αὐτοὺς προθύμως. πι-
στεύομεν εἰς πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα. τὸν ἐπουράνιον πατέρα. καὶ
ἀναθεματίζουσι τῷ μὴ οὕτως πιστεύοντι. μεμηχανημένως
λίαν τὴν ἑαυτῶν κακίαν μεθοδεύοντες. οὐ γὰρ προστιθέασιν ὅ-
τε λέγουσι τὸν πατέρα τὸν ἐπουράνιον ὅτι τὸν μόνον ἀληθινὸν θεὸν τὸν ποι-
ήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν. καὶ πάντα τὰ ἐν αὐτοῖς. χρὴ δὲ τὸν
προσδιαλεγόμενον ὀρθόδοξον ἐναντίον τῶν μανιχαίων τοῦ ἀπαιτεῖν
τὸ σύμβολον τῆς πίστεως. τὸ, πιστεύω εἰς ἕνα θεὸν πατέρα παντο-
κράτορα ποιητὴν οὐρανοῦ καὶ γῆς ὁρατῶν τε πάντων καὶ ἀοράτων. καὶ τὰ
ἑξῆς. ἔπειτα δὲ, βλασφημοῦσι μὲν εἰς τὴν παναγίαν θεοτόκον ἀμέτρως.
ἐὰν δὲ βιασθῶσι παρ' ἡμῶν ὁμολογῆσαι αὐτὴν, ἀλληγορικῶς
λέγουσι. πιστεύω εἰς τὴν παναγίαν θεοτόκον. ἐν ᾗ εἰσῆλθε καὶ ἐξῆλ-
θεν ὁ κύριος. λέγουσι δὲ τὴν ἄνω ἱερουσαλήμ. ἐν ᾗ πρόδρομος ὑπὲρ ἡμῶν